JOH. CASELII
CARMEN MEMORIÆ
ILLUSTR. PRINCIPIS D.
ADOLPHI, DUCIS HOLSAT.
ROSTOCHII 1586

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]



Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]



Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]



Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]



Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]

$40^{II}$ - 400
4°
(LN bis 335)

DR BOX

BIBLIOTHECA REGIA · HAFNIENSIS ·

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]

CARL LUND

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]

40 2. - 400.

# MEMORIÆ
## Illustrissimi Principis,
# D. ADOLPHI,
## HÆREDIS NORVEGIÆ, DV-
## CIS HOLSATIÆ, &c.

CARMEN

JOANNIS CASELII.

ROSTOCHII
Excudebat Stephanus Myliander.
ANNO
CIϽ IϽ XXCVI.

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]

# ΑΔΟΛΦΩ ΩΛΣΑ-
## ΤΩΝ ΑΡΧΟΝΤΙ.

Κλεινῆς Αρκτώας θύγατερ, Βορέαό τ' ἄνακτος,
Κλαῖε φίλη Δανή: ὦ Κιμβρογενεῖς πολεμισταὶ
Κλαίετε, καὶ Μεγάλης-πόλεως κρατὲρ' ἐννεα-
Κλαίετε. Καὶ γὰρ ὑμῖν ἤδη μέγα κῆδος ὀρώρει. (τῆρες
Ὤλετ' ἄναξ Κίμβρων μεγάθυμος, δῖος Αδολφος.
Χριστιανῷ Δανῶν μεγάλων βασιλῆι κρατίστῳ
Δωροθέη μήτηρ εἰρηνόφιλον Φρειδερῖκον
Τίκτε, καὶ αὐτὸν ἄνακτα πρὸς ἄρκτον Κιμβρίσι χώραις.
Αὐτὰρ ἔπειτα πόσει Φρειδερίκῳ Μαρχίας Αννα
Χριστιανὸν τέκε παῖδα σοφῷ μάλ' ἐοικότα πάππῳ,
Χριστιανὸν βασιλῆα καὶ αὐτὸν, λάτριν Αρηος,
Παντίῃ ἀρετῇ κοσμηθέντ', εὐσεβίῃ τε,
Τοῦ πατέρ', ὃς Δανοῖς εὐδαίμοσιν ἐμβασίλευε
Εἷς πλεόνεσσι πάντων πολυόλβιος ἐν βασιλεῦσιν.
Τῷ δ' αὐτοῦ Σοφίη θυγάτηρ Βωγισλαβίοιο,
Ὅσγ' ἐνὶ αἰγιαλῷ τοῦ Βαλθικοῦ ὠκεανοῖο
Ἦρξε Πομηρανοῖς τότε πεντήκοντ' ἐνιαυτοὺς,
Τῷ τέκε κάλλιμα τέκν', υἱοὺς τρεῖς, θυγατέρας τρεῖς:
Τῶν δ' υἱῶν μέσσος ἐὼν, τὸν νῦν κράτος εἵλετο μοίρης.
Αὐτὰρ ἐπεὶ τὸν Αδολφον ἐγείνατο πότνια Μήτηρ,
Ὡς ἐχάρη τ' ἐγέλασσέ τ' ἐν ἀνδράσιν ὄμβριμος Αρης.
Οἰόμενος θεράποντ' οἱ ἔσεσθ' ἠΰντε μέγαν τε.
Ἐκ δ' ἐγέλασσε Θέμις πόλεων σώτειρα καὶ ἀνδρῶν,

Φῆ, γάρ.

B.R.H.

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 (40:2,-400 4°)

# ADOLPHO
## HOLSATORVM DVCI.

*Illustris Arctoæ filia & regis Boreæ*
*Plora cara Dane : ô Cimbris oriundi bellatores*
*Plorate : & Megapoleos fortes incolæ*
*Plorate. Etenim vobis iam ingens luctus excitatus est.*
*Obijt dux Cimbrorum magnanimus, diuus Adolphus,*
*Christiano Danorum præstantium regi potentißimo,*
*Dorothea mater Fridericum, pacis cultorem,*
*Enixa est, et ipsum regem ad Arctum regionum Cimbricarũ.*
*Verum deinceps marito Friderico Marchias Anna*
*Christianum edidit filium, admodum similem sapientis aui,*
*Christianum regem, & ipsum cultorem Martis,*
*Omnigena virtute ornatum, atque pietate,*
*Eius patrem, qui nunc Danis imperat,*
*Vnus inter multos reges hodie felicißimus.*
*Eidem autem SOPHIA BOGISLAI filia,*
*Qui in littore Balthici Oceani*
*Imperauit olim Pomeranis annos quinquaginta:*
*Huic peperit egregios liberos, filios tres, & filias totidem.*
*Filiorum medius erat, quem modo vis Parcæ abstulit.*
*Sed cum Adolphum peperisset veneranda mater,*
*Quàm gauisus fuit risitque validus Mars?*
*Existimans sibi ministrum futurum præstantem & magnũ.*
*Risit autem & Themis, vrbium atq; hominum seruatrix.*

Aiebat

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]

φῆ γάρ. ὁ δ' εἰρήνην πολύολβον πλουτοδότειραν
Θεσπεσίους τε νόμους τοῖσδ' ἐν λαοῖσι φυλάξει.
Οὐ θέμις, οὐδ' Ἄρης ἐψεύσθη. Καὶ γὰρ Ἄδολφος
Πὰρ μεγάλῳ Καρόλῳ Ῥωμαίων παμβασιλῆϊ
πάντα μάθ', ὅσσα ἔοικ' εὖ ἴδμεναι ἀγχιμαχητήν.
Τοὔνεκα καὶ κρατερὰς ἐχθρῶν ἔῤῥηξε φάλαγγας,
Δυσμενέων, πινυτῷ τε νόῳ καὶ κάρτεϊ χειρῶν.
Τὴν δ' ἔτι νῦν ἄδουσι κόροι τηλέκλυτον ᾠδήν:
Ὡς Δανῶν βασιλεὺς, καὶ Κίμβρων ἀρχὸς, Ἄδολφος,
Οὔτοι ἀναιμωτί γε, γεωργοὺς καρτεροθύμους,
Εἰδότας εὖ ἀρότοιο, μάχης θ' ἅμα κυδεανείρας,
Διθμάρσους χείρωσεν ἐν αἰνῇ δηϊοτῆτι,
Καὶ κλέος ἐκ πολέμου παρ' Ἰβήρεσσ' ἠδὲ Βελπέκνοις:
Κτήσατ' Ἄδολφος ἄναξ, κὰν γῇ Γερμανίδι πάσῃ:
σύ τε φιλοπτολέμῳ Σαξωνίδι ἡγεμόνευε
Ἰσοθέων βασιλέων, καὶ ἀνδρῶν οὐκ ἀλαπαδνῶν.
Ἄρη δ' ἀνδρολετῆρα, Ἐνυῶ τε βροτολοιγὸν
Βουλῇ ἀπ' ἐσχατιῶν μακρὰν τῆς πατρίδος εἴργων,
Ἡσυχίην ἐφύλαξε, δικαιοσύνην τ' ἐρίτιμον,
Ὤφελεν οὗτος ἄναξ μακροὺς αἰῶνας ἀνύσσαι
Γῆς ἔπι, ἠδ' εὐεργετέειν πολὺ πλείονας ἄνδρας,
Σάξωνας δὲ μάλιστα, καὶ Ὠλσάτους πολυόλβους.
Ἤδη δ' οἱ εἵμαρτο λιπεῖν φάος ἡελίοιο
Ἑξηκονταετεῖ· ὁ γάρ οἱ ὅρος ἔπλετο ζωῆς,
Κίμβροι μιν κλαίουσι, φίλον πατέρ' ἠΰτε παῖδες:
Κλαίει μιν βασίλισσ' μαχητῶν τῆλ' ἀπὸ Κατθῶν

Αἰδοίη

*Aiebat enim. Hic pacem optabilem, opũm datricem,*
*Diuinasq; leges in hisce populis custodiet.*
*Non Themis, non Mars falsus fuit. Etenim Adolphus*
*Apud magnum Carolum Romanorum imperatorem*
*Omnia didicit, quæ fas est noße bellatorem.*
*Quare etiam validas hostium rupit phalangas*
*Infensorum, sapiente animo & viribus manuum.*
*Hoc autem nunc canunt adolescentes nobile carmen,*
*Quemadmodũ Danorũ Rex, et Cimbrorum dux, Adolphus,*
*Neq; sane sine sanguine, colonos acri animo præditos,*
*Scientes bene arationis, simulq; gloriosæ pugnæ,*
*Dithmarsos subegerint in graui prælio,*
*Et gloriam è bello apud Hispanos & Anglos*
*Peperit dux Adolphus, & in vniuersa Germania:*
*Atq; in Saxonia, cultrice belli, præfectus militiæ fuit*
*Inter principes eximios, & viros minimè ignauos.*
*Martem vero occisorem hominũ, & Bellonam pestiferam,*
*Consilio à limitibus patriæ longè arcens,*
*Otium conseruauit, & pretiosam iustitiam.*
*Vtinam hic princeps multa secula transegisset*
*In terra, & bene mereri potuisset de multo pluribus,*
*De Saxonibus autem potißimum, & felicibus Holsatis.*
*Verum ipsi iam fatale erat relinquere solis lucem*
*Nato annos sexaginta. Hic etenim terminus ipsi vitæ fuit.*
*Cimbri ipsum deflent, vt liberi carum patrem:*
*Deflet eum princeps longè ex Heßis bellatoribus,*

 *Vene-*

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 (40:2,-400 4°)

Αἰδοίη ἄλοχος, πατρὸς ἐκγεγαυῖα Φιλίπποιο:
Κλαίουσί τε φίλοι, σὺν μήτηρ παῖδας Αδόλφῳ
Καὶ πλεόνας, καλούς θ' υἱοὺς, καλάς τε θυγάτερας,
Γείνατο: χ' οἱ καλῶς ἀρετῆσιν θεσπεσίῃσιν
Κοῦροι ταῖς βασιλέων, κοῦραι δ' αὖ ταῖς βασιλισσῶν,
Σπουδῇ ὀτραλέῃ μάλα παιδεύθησαν ἀπ' ἀρχῆς,
Κούρους, δ' ὡς εἰκὸς, μουσῶν εἰς τέμπεα καλὰ
Ἤγαγε Καυκιάδης, ὑποφήτης Φοίβου ἄνακτος,
Ὥστε γενέσθ', οἵους ἀγαθοὺς δεῖ ἔμμεν' ἄνακτας,
Οὐ δυνατοὺς μόνον, ἐν παλάμῃσί τε σκῆπτρα φέροντας,
Μᾶλλον δ' ἐν πραπίσι σοφίην, ἀρετήν τ' ἐνὶ ἔργοις.
Καί μιν Ιωάννης Αλβέρτου φαίδιμος υἱὸς,
Αρχων ἡμέτερος κλαίει. Γαμβρὸς γὰρ ὅδ' αὐτῷ
Εσσόμενος, Σοφίην γαμέει τὴν Κιμβερίδα νύμφην.
Καί τε κασιγνήτη κλάοι μιν Ελισαβέτεια.
Η δάμαρ Οὐλρίχου Ενετῶν βασιλῆος ἀγαυὴ:
Αλλά νιν ἥρπασε μοῖρα, νέον τε τόδ' ἤλασε πένθος,
Καὶ τῷ δ' αὐτῷ μηνὶ ἐνὶ Γιοσοιρίᾳ ἀκτῇ.
Οὕτω που πάντες θνητοὶ πελόμεσθ' ἀπὸ θνητῶν,
Ζῶμεν δ' αὖ ἀρετῇ νεκύων μέτα, καὶ μετὰ ζώντων.

ΤΕΛΟΣ.

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 (40:2,-400 4°)

*Veneranda coniunx, nata Philippo patre:*
*Deflent etiam cari liberi, quos Adolpho mater*
*Etiam plures, præstantes filios & præstantes filias*
*Edidit: atque hi præclarè diuinis virtutibus,*
*Adolescentes virtutibus regum, reginarum puellæ,*
*Cura admodum diligenti, educati fuerunt ab initio.*
*Filios autem, vt par erat, Musarum in elegantia tempe*
*Duxit Caucius, sacerdos Phœbi regis:*
*Vt euaderent, cuiusmodi bonos esse principes oportet,*
*Non potentes solum & manibus ferentes sceptra,*
*Verum potius sapientiam in animo, & virtutem in factis.*
*Eundem etiam Ioannes, Alberti alacer filius,*
*Princeps noster deflet. Etenim hic ipsi gener*
*Futurus, Sophiam ducit Cimbricam virginem.*
*Quin etiam soror eum defleat Elisabetha*
*Coniunx illustris Vlrici Henetorum ducis.*
*Verum eam eripuit Parca, recentemq; hunc aduexit luctũ,*
*Etiam hoc ipso mense in littore Gissœrio.*
*Vsq; adeo omnes mortales sumus è mortalibus,*
*Viuimus autem virtute cum vita functis & cum superstiti-*
*(bus.*

F I N I S.

BIBLIOTHECA REGIA HAFNIENSIS

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
LN bis 335 [40:2,-400 4°]